# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: qmm-dp

*Γαληνὸς ὁ Περγαμηνός* · Galen of Pergamon

# On Sexual Matters

*Περὶ τῶν ἀφροδισίων*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

1.1 Πνεύματος τονωτικὸν τοῦτο τὸ γυμνάσιον καὶ εὐκαμπείας τῆς περὶ τὸ σῶμα, μάλιστα δὲ τῆς περὶ σκέλη ποιητικὸν μετὰ τοῦ καὶ ἰσχὺν περιποιεῖν τοῖς κινουμένοις μέρεσιν· ἔστι δὲ καὶ μακροτονίας παρασκευαστικὸν καὶ νεύρων καταλλάξεως ἐπιτρεπτικόν· μεταβιβάζει καὶ ὕλην καὶ περιττώματα μετέωρα πρὸς τὰς ἐξόδους ἀπωθεῖ. εἰ δὲ καὶ μετὰ κρατήσεως ἁλτηρίων παραλαμβάνοιτο, τῶν στιβαρωτάτων γυμνασίων ἕν τι γίνεται, διαπονοῦν ὁμοίως καὶ τὰ ἄνω καὶ τὰ κάτω τοῦ σώματος.

1.2 Οὐ τῶν παλαιῶν γυμνασίων τοῦτο, λέγω δὲ τῶν τοῖς κά|μνουσιν ὠφελίμων, ἐπεὶ ἄλλως ἡ ἐν ὅπλοις ἄσκησις παλαιά. Ῥωμαῖοι δ̓ ἐξεῦρον τὴν ὁπλομαχίαν τήνδε, πρῶτον δ̓ ὑπὲρ τῆς εἰς πόλεμον παρασκευῆς· τὸ δὲ νῦν ὑπὲρ τοῦ διαπονεῖν τὰ σώματα οἵ γε οὖν στρατιῶται· μονομάχων γὰρ ὅπλα ἐνδυόμενοι ἢ πρὸς ἀντιπάλους ἢ πρὸς κίονα ὡς πρὸς ἀντίπαλον διαμάχονται. δύναται δὲ τοῦτο τὸ γυμνάσιον εὐκίνητόν τε ποιῆσαι τὸ σῶμα καὶ εὔσαρκον· πλαδαρὰν μέντοι σάρκα περιποιεῖ· κεφαλῇ δ̓ ἀλυσιτελὲς διά τε τὸ σκέπεσθαι λίαν αὐτὴν ὑπὸ τῶν πίλων καὶ τῆς περικεφαλαίας διά τε τὸ μοχθεῖν ὑπὸ τοῦ βάρους. μέγιστον δ̓ ἐπάγγελμα τοῦδε τοῦ γυμνασίου μακρόπνοια καὶ συντονία τοῦ σώματος, ἔνθεν οἱ προεθίσαντες αὐτῷ πᾶσαν ἄλλην ἀποδίωξιν πνεύματος ὑποφέρειν εἰσὶν ἱκανοί. |

1.3 Ἀφροδισίων δὲ κατὰ μὲν Ἐπίκουρον οὐδεμία χρῆσις ὑγιεινή· κατὰ δὲ τἀληθὲς ἐκ διαλειμμάτων τηλικούτων, ὡς ἐπὶ ταῖς χρήσεσι μήτε ἐκλύσεως αἰσθάνεσθαι καὶ κουφότερον αὐτὸν αὑτοῦ δοκεῖν γεγονέναι καὶ εὐπνούστερον. ὁ δὲ καιρὸς τῆς χρήσεως, ὅταν ἀκριβῶς μέσον ᾖ τῶν ἔξωθεν περιστάσεων ἁπασῶν τὸ σῶμα, μήτε ὑπερπεπληρωμένον 28 — p. 188, 5 Gal. Art. med. 24 (I 371—372 K.) 28 cf. Epicur. fragm. 62 Usener 2 ελοκρατυντικὸν codd.: corr. Matthaei νεύρα A1 τριπτὸν A1 5 x inscriptione solum praebet περὶ τῆ A1 7 τῆς] τοῖς N 9 ἐπιστρεπτικόν N 10 ἀποδεῖ C 11 ἀρτηριῶν codd.: corr. C2Dg 14 inscriptionen om. A1 16 ἐπεὶ δ̓ ἄλλως C 18 διποιεῖν A 20 διαμάχοντας C 21 ἀκίνητον C 22 τὸ] τοῦ CN σκέπτεσθαι codd.: corr. N1 Matthaei 25 ἔνθα codd.: corr Dg προενθίσαντες codd: corr. C2N2Dg 25. 26 ἀποδίωσιν C 27 nscriptionem om. A1 ἐκ τῶν om. A2C: ἐκ τοῦ N 29 μήτε] μετ᾽C 31 εὐνούστερον N1: ἁπλούστερον C 32 περιστάσεων om, C μήτε] μεθ’ C ὑπερπληρωμένον N μήτε ἐνδεὲς μήτε ὑπερεψυγμένον μήτε ὑπερτεθερμασμένον ἢ ἐξηραμ μένον ἢ ὑγρασμένον ἀμέτρως. εἰ δὲ καὶ διαμαρτάνοιέν ποτε κατά τι, μικρὸν μὲν ἔστω τὸ ἁμαρτανόμενον· ἄμεινον δὲ τὸ τεθερμασμένῳ μᾶλλον ἢ ἐψυγμένῳ, | καὶ πεπληρωμένῳ μᾶλλον ἢ ἐνδεεῖ, καὶ ὑγρασμένῳ μᾶλλον ἢ ἐξηραμμένῳ τῷ σώματι χρῆσθαι τοῖς

ἀφροδισίοις. οἱ μὲν οὖν ἀσθενῆ τὴν δύναμιν ἔχοντες ὑπὸ τῆς λαγνείας εἰς ἐσχάτην ἀρρωστίαν ἀφικνοῦνται· οἱ δ’ ἰσχυρὰν καὶ νοσοῦντες ἀπὸ φλέγματος οὔτε καταλυθήσονται καὶ ξηραίνουσι τὴν τοῦ φλεγματος περιουσίαν τῷ διαφορεῖν ἐπὶ πλέον τοὺς χυμούς· ἀβλαβῆ γὰρ ἀφροδίσια τοῖς ὑγροῖς καὶ θερμοῖς ἐστι καὶ ὅσοι φύσει πολύσπερμοι. ἀλλὰ καὶ θερμαίνει τὸ σῶμα τοῖς ἐρρωμένην ἔχουσι τὴν δύναμιν ἡ λαγνεία· τοῖς δ̓ ἀσθενέσιν ἐν μὲν τῷ παραχρῆμα θερμαίνει. ψύχει δὲ μετὰ ταῦτω γενναίως. ἔνιοι μὲν οὖν εὐ|θέως ἐπὶ ταῖς συνουσίαις ἀπὸ νεότητος ἀσθενεῖς γίνονται· τινὲς δέ, εἰ μὴ συνεχῶς χρῷντο, βαρύνονται τὴν κεφαλὴν ἀσώδεις τε καὶ πυρετώδεις γίνονται καὶ χεῖρον ὀρέγονται καὶ ἧττον πέττουσιν· τοιαύτης γοῦν ἐνίους ὄντας φύσεως, εἶτα ἐγκρατεῖς ἀφροδισίων χρήσεως γενομένους ναρκώδεις τε καὶ δυσκινήτους ἔγνωμεν ἀποτελεσθέντας, ἐνίους δὲ καὶ σκυθρωπούς ἀλόγως καὶ δυσέλπιδας ὁμοίως τοῖς μελαγχολικοῖς, ταῦτα δὲ παυόμενα ταχέως ἐπὶ ταῖς τῶν ἀφροδισίων χρήσεσιν. ταῦτα ἀναλογιζομένῳ μοι μεγάλως φαίνεται βλάπτειν ἡ τοῦ σπέρματος ἐπίσχεσις, ἐφ’ ὧν αὐτό τε φύσει κακοχυμότερον καὶ πλεῖον, ἀργότερός τε ὁ βίος, καὶ τῶν ἀφροδισίων ἡ χρῆσις πρότερον μὲν ἱκανὴ πάνυ, μετὰ ταῦτα δὲ | ἰσχυροί τε καὶ νέοι· τούτοις ἡ τοῦ σώματος ἕξις εἰς ἀραιότητα πλέον ἤπερ ἡ δύναμις εἰς ἀρρωστίαν ἀλλοιοῦται, καὶ τοίνυν ἐπανόρθωσις διὰ τῶν συναγόντων καὶ σφιγγόντων γίνεται αὐτοῖς, ὁποῖόν ἐστι τὸ παρασκευαστικὸν γυμνάσιον. εἰ δὲ δὴ καὶ ψῦξίς τις ἐπὶ τοῖς ἀφροδισίοις ἐγγίνοιτο, καὶ κατὰ τοῦτο ἂν εἴη τῷ παρασκευαστικῷ γυμνασίῳ χρηστέον· ἐπεγείρει γὰρ τὴν θερμότητα. τῆς δ̓ ὥρας τοῦ ἔτους ἐπιτρεπούσης, οὐδὲ τῆς ψυχρολουσίας ἀφεκτέον. ἐδέσματα δὲ τῷ πλήθει μὲν ἐλάττω, τῇ ποιότητι δ̓ ὑγρότερα δοτέον, ἵνα καὶ πέψῃ καλῶς αὐτὰ καὶ τὴν ἐκ τῶν ἀφροδισίων ἐπανορθώσηται ξηρότητα. χρὴ δ̓ οὐδὲ ψυχρότερα τὴν κρᾶσιν, ἀλλὰ τῆς μέσης ἰδέας τῶν θερμαινόντων ὑπάρχειν αὐτὰ· 6—9 Gal. in Hipp. Epid. VI comm. V 23 (XVIII 2, 284 K.) 9—10 Gal. De san. tu. VI 4, 5 (VI 402 K.) 10—13 Gal. in Hipp. Epid. VI comm. V 23 (XVII 2, 384 K.) 13—23 Gal. De loc. aff. VI 5 (VIII 417—419 K.) 23—p. 189, 4 Gal. De san. tu. III 11, 9—15 (VI 223—224 K.) 1 ἡτε (primo loco)] μετ’C μήτε secundum om. C μήτε ὑπερτεθερμασμένον om. C 1. 2 ἢ ἐξηραμμένον ἢ ὑγρασμένον add. N2Dg e Gal. 3 ὁ διαμαρτανόμενον Σ τὸ (posteriore loco) Dg: τῷ codd. 4 ἢ posterius om. AC 4. 5 suppl. Dg 6 post ὑπὸ add. τε C 8 suppl. Dg e Gal. περιουσίας 9 ἀβλαβὴς codd.: corr. C2Dg 11 ἀρρωμένην C 12 δ̓ om. C τῷ om. 4 13 εὐθέως] θέως A 15 ἀσώδεις] νοσώδεις A 17 ἀφροδησίας C 20 μοι] μὴ C 21 ἐπίχυσις codd.: corr. C2Dg 23 lacunam indicavi τε om. C 24 ἀριθμότητα codd.: corr. Dg 26 συναγαγόντων A. 29 τοῦ ἔθους C: τούτους A1 30 δὲ om. Σ 31 ὑγρότερον codd.: corr. C2N2Dg 32 ψυχροτέραν N: ψυχροτέραν C: χυχροτέραν A διότι γὰρ | ἐξ ἀφροδισίων ἀραιότερον ἅμα καὶ ἀσθενέστερον καὶ ξηρότερον ἀποτελεῖται τὸ σῶμα, χρὴ δήπου τὰ πυκνοῦντα καὶ θερμαίνοντα καὶ τὴν δύναμιν ἀναρρωννύντα προσφέρεσθαι, καὶ τούτους εἶναι σκοποὺς ἐπ̓ αὐτοῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org